Consequitur autem illud, vt non habeamus malum simul: hoc autem, vt habeamus bonum posterius: & pro minore bono maioris sumptiones, &pro maiore malo minoris. Quo enim superat maius id, quod est minus, id fit illius quidem sumptio, huius verò depositio. Et virtutes necesse est, vt bonum sint. Nam his benè afficiuntur, qui habent, & idoneæ ad bona efficienda sunt, & agenda. De vnaquaque autem & quæ, & cuiusmodi sit, separatim dicendum, & vt voluptas bonum sit. Omnia enim appetunt animalia ipsam natura. Quare vt & iucunda, & honesta necesse est bona sint. Illa enim voluptatis efficientia sunt: honesta verò partim iucunda, partim ipsa per se eligenda sunt. Vt autem de singulis dicam, necesse est, vt bona sint hæc: felicitas, quia & per se eligenda est, & se ipsa contenta, & caussa ipsius multa eligimus: iustitia, fortitudo, temperantia, magnanimitas, magnificentia, & alij huiusmodi habitus, virtutes enim animi sunt. & sanitas & pulchritudo, & talia, virtutes enim corporis, & conficientes multorum sunt: vt sanitas & voluptatis, & vitæ. Quamobrem etiam optimũ videtur esse, quia duorum, quæ apud multitudinem maximè honorantur, caussa est, voluptatis & vitæ, & diuitiæ, quia sunt virtus possessionis, & conficientes multorum: amicus, & amicitia. etenim per se res electione digna est amicus, & conficiens multorum: honor, gloria. etenim iucunda sunt, & conficientia multorum, & consequitur ipsa plerunque, vt adsint illa, in quibus honorantur: facultas dicendi, agendi, quia conficientia sunt omnia hæc bonorum: deinceps ingenium, memoriꝗ, docilitas, velox animi motus, omnia eiusmodi. conficientes enim ipsæ bonorum facultates sunt: similiter verò etiam scientiꝗ omnes, & artes, & viuere. si enim nullum aliud sequeretur bonum, per se eligendum est, & iustum. vtile enim quoddam communiter est. Atque hæc quidem fermè confessa bona sunt. In controuersis autem ex his syllogismi sunt. Cui contrariũ malum, id bonum. Et cuius contrarium inimicis prodest, vt si timidos esse maximè prodest inimicis, manifestum est fortitudinem maximo emolumento ciuibus esse. Et omnino quod inimici volunt, vel quo gaudent, contrarium huic emolumento esse apparet. Itaque rectè dictum est, certè gaudebit Priamus. Est autem nõ

A ἀκολουθεῖ γὰρ, τῷ μὲν, τὸ μὴ ἔχειν τὸ κακὸν, ἅμα· τῷ δὲ, τὸ ἔχειν τὸ ἀγαθὸν, ὕστερον· καὶ ἡ ἀντ' ἐλάττονος ἀγαθοῦ, μείζονος λῆψις· καὶ ἀντὶ μείζονος κακοῦ ἐλάττονος· ᾧ γὰρ ὑπερέχει τὸ μεῖζον τοῦ ἐλάττονος, τοῦτο γίνεται, τοῦ μὲν, λῆψις· τοῦ δ', ἀποβολή. καὶ τὰς ἀρετὰς δὲ ἀνάγκη ἀγαθὸν εἶναι· κατὰ γὰρ ταύτας εὖ τε διάκεινται οἱ ἔχοντες, καὶ ποιητικαὶ τῶν

B ἀγαθῶν εἰσὶ, καὶ πρακτικαί. περὶ ἑκάστης δὲ, καὶ τίς, καὶ ποία, χωρὶς ῥητέον, καὶ τὴν ἡδονὴν ἀγαθὸν εἶναι. πάντα γὰρ ἐφίεται τὰ ζῶα αὐτῆς τῇ φύσει· ὥστε καὶ τὰ ἡδέα καὶ τὰ καλὰ, ἀνάγκη ἀγαθὰ εἶναι· τὰ μὲν γὰρ ἡδονῆς ποιητικά· τῶν δὲ καλῶν, τὰ μὲν, ἡδέα· τὰ δὲ, αὐτὰ καθ' ἑαυτὰ αἱρετά ἐστιν· ὡς δὲ κατὰ ἓν εἰπεῖν, ἀνάγκη ἀγαθὰ εἶναι τάδε. εὐδαιμονία· καὶ γὰρ καθ' αὑτὸ αἱρετὸν, καὶ αὔταρκες,

C καὶ ἕνεκα αὐτῆς πολλὰ αἱρούμεθα. δικαιοσύνη, ἀνδρία, σωφροσύνη, μεγαλοψυχία, μεγαλοπρέπεια, καὶ αἱ ἄλλαι αἱ τοιαῦται ἕξεις· ἀρεταὶ γὰρ ψυχῆς. καὶ ὑγίεια, καὶ κάλλος, καὶ τὰ τοιαῦτα· ἀρεταὶ γὰρ σώματος, καὶ ποιητικαὶ πολλῶν· οἷον ὑγίεια, καὶ ἡδονῆς, καὶ τοῦ ζῆν. διὸ καὶ ἄριστον δοκεῖ εἶναι, ὅτι δύο τῶν τοῖς πολλοῖς τιμιωτάτων αἴτιόν ἐστιν, ἡδονῆς,

D καὶ τοῦ ζῆν. πλοῦτος· ἀρετὴ γὰρ κτήσεως, καὶ ποιητικὸν πολλῶν. φίλος καὶ φιλία· καὶ γὰρ καθ' αὑτὸν αἱρετὸν ὁ φίλος, καὶ ποιητικὸν πολλῶν. τιμὴ, δόξα· καὶ γὰρ ἡδέα, καὶ ποιητικὰ πολλῶν, καὶ ἀκολουθεῖ αὐτοῖς ὡς ἐπὶ τὸ πολὺ, τὸ ὑπάρχειν ἐφ' οἷς τιμῶνται. δύναμις τοῦ λέγειν, τοῦ πράττειν· ποιητικὰ γὰρ πάντα τὰ τοιαῦτα ἀγαθῶν. ἔτι, εὐφυΐα, μνῆμαι,

E εὐμάθεια, ἀγχίνοια, πάντα τὰ τοιαῦτα· ποιητικαὶ γὰρ αὗται ἀγαθῶν αἱ δυνάμεις εἰσίν. ὁμοίως δὲ καὶ αἱ ἐπιστῆμαι πᾶσαι, καὶ αἱ τέχναι, καὶ τὸ ζῆν· εἰ γὰρ μηδὲν ἄλλο ἕποιτο ἀγαθὸν, καθ' αὑτὸ αἱρετόν ἐστι. καὶ τὸ δίκαιον· συμφέρον γάρ τι κοινῇ ἐστί. ταῦτα μὲν οὖν σχεδὸν τὰ ὁμολογούμενα ἀγαθά ἐστιν. ἐν δὲ τοῖς ἀμφισβητησίμοις, ἐκ τῶνδε οἱ συλλογισμοί. ᾧ τὸ ἐναντίον κακὸν, τοῦτ' ἀγαθόν. καὶ

F οὗ τὸ ἐναντίον τοῖς ἐχθροῖς συμφέρει· οἷον, εἰ τὸ δειλοὺς εἶναι μάλιστα συμφέρει τοῖς ἐχθροῖς, δῆλον ὅτι ἀνδρία μάλιστα ὠφέλιμον τοῖς πολίταις. καὶ ὅλως, ὃ οἱ ἐχθροὶ βούλονται, ἢ ἐφ' ᾧ χαίρουσι, τοὐναντίον τούτῳ ὠφέλιμον φαίνεται· διὸ εὖ εἴρηται,

Ἦ κεν γηθήσαι Πρίαμος.

ἔστι δὲ οὐκ ἀεὶ τοῦ-